*‛Παιδός τοι χάρις ἐστί· γυναικὶ δὲ πιστὸς ἑταῖρος*
*οὐδείς, ἀλλ᾽ αἰεὶ τὸν παρεόντα φιλεῖ.*
*παιδὸς ἔρως καλὸς μὲν ἔχειν, καλὸς δ᾽ ἀποθέσθαι·*
*πολλὸν δ᾽ εὑρέσθαι ῥήιτερον ἢ τελέσαι.*
*μυρία δ᾽ ἐξ αὐτοῦ κρέμαται κακά, μυρία δ᾽ ἐσθλά·*
*ἀλλ᾽ ἔν τοι ταύτηι καί τις ἔνεστι χάρις.*
*οὐδαμά πω κατέμεινας ἐμὴν χάριν, ἀλλ᾽ ὑπὸ πᾶσαν*
*αἰεὶ σπουδαίην ἔρχεαι ἀγγελίην.᾽*

*Ὄλβιος ὅστις παιδὸς ἐρῶν οὐκ οἶδε θάλασσαν,*
*οὐδέ οἱ ἐν πόντωι νὺξ ἐπιοῦσα μέλει.*

*Καλὸς ἐὼν κακότητι φίλων δειλοῖσιν ὁμιλεῖς*
*ἀνδράσι, καὶ διὰ τοῦτ᾽ αἰσχρὸν ὄνειδος ἔχεις,*
*ὦ παῖ· ἐγὼ δ᾽ ἀέκων τῆς σῆς φιλότητος ἁμαρτών*
*ὠνήμην ἔρδων οἷά τ᾽ ἐλεύθερος ὤν.*

1381 *Ἄνθρωποί σ᾽ ἐδόκουν χρυσῆς παρὰ δῶρον ἔχοντα*
1382/3 *ἐλθεῖν Κυπρογενοῦς. δῶρον ἰοστεφάνου*
1384 *γίνεται ἀνθρώποισιν ἔχειν χαλεπώτατον ἄχθος,*
1385 *ἂν μὴ Κυπρογενὴς δῶι λύσιν ἐκ χαλεπῶν.*

*Κυπρογενὲς Κυθέρεια δολοπλόκε, σοὶ τί περισσόν*
*Ζεὺς τόδε τιμήσας δῶρον ἔδωκεν ἔχειν;*